


# ΙΕΡΑ ΑΣΜΑΤΙΚΗ ΑΚΟΛΟΥΘΙΑ

## ΤΩΝ ΑΓΙΩΝ ΕΝΔΟΞΩΝ ΝΕΟΦΑΝΩΝ ΜΑΡΤΥΡΩΝ ΡΑΦΑΗΛ, ΝΙΚΟΛΑΟΥ ΚΑΙ ΤΗΣ ΑΓΙΑΣ ΠΑΡΘΕΝΟΜΑΡΤΥΡΟΣ ΕΙΡΗΝΗΣ

**ΤΩΝ ΕΝ ΘΕΡΜΗ ΤΗΣ ΛΕΣΒΟΥ ΜΑΡΤΥΡΗΣΑΝΤΩΝ**
**ΕΝ ΤΗ ΙΕΡΑ ΜΟΝΗ ΤΩΝ ΚΑΡΥΩΝ**
**ΥΠΟ ΤΩΝ ΑΠΙΣΤΩΝ ΚΑΙ ΑΣΕΒΩΝ ΑΓΑΡΗΝΩΝ**
**ΤΗ 9Η ΑΠΡΙΛΙΟΥ 1463**

ΠΟΙΗΘΕΙΣΑ ΥΠΟ ΤΟΥ
ΑΡΧΙΜΑΝΔΡΙΤΟΥ ΠΑΧΩΜΙΟΥ ΣΟΥΓΙΟΥΛΤΖΗ
1992

# Ι Ε Ρ Α
# Α Σ Μ Α Τ Ι Κ Η
# Α Κ Ο Λ Ο Υ Θ Ι Α

## ΤΩΝ ΑΓΙΩΝ ΕΝΔΟΞΩΝ ΝΕΟΦΑΝΩΝ
## ΜΑΡΤΥΡΩΝ
## ΡΑΦΑΗΛ, ΝΙΚΟΛΑΟΥ
## ΚΑΙ ΤΗΣ ΑΓΙΑΣ ΠΑΡΘΕΝΟΜΑΡΤΥΡΟΣ ΕΙΡΗΝΗΣ

ΤΩΝ ΕΝ ΘΕΡΜΗ ΤΗΣ ΛΕΣΒΟΥ ΜΑΡΤΥΡΗΣΑΝΤΩΝ
ΕΝ ΤΗ ΙΕΡΑ ΜΟΝΗ ΤΩΝ ΚΑΡΥΩΝ
ΥΠΟ ΤΩΝ ΑΠΙΣΤΩΝ ΚΑΙ ΑΣΕΒΩΝ ΑΓΑΡΗΝΩΝ
ΤΗ $9^{Η}$ ΑΠΡΙΛΙΟΥ 1463



**Ἔγραφον ἐν τῷ Βυζαντινῷ ἱερῷ Ναῷ Παναγίας τῆς Τρουλλωτῆς Θερμῆς Λέσβου ἐπὶ τῇ μνήμῃ τοῦ ἐν ἁγίοις Σπυρίδωνος τοῦ Θαυματουργοῦ τῇ $12^{η}$ Δεκεμβρίου 1961.**

**Ὁ Πονήσας**
**Ἱερομόναχος Παχώμιος Σούγιουλτζης**




Ἀπολυτίκιον
Ἦχος δ'. Ταχὺ προκατάλαβε

Ἐν Λέσβῳ ἀθλήσαντες, ὑπὲρ Χριστοῦ τοῦ Θεοῦ αὐτὴν ἡγιάσατε, τῇ τῶν Λειψάνων ὑμῶν, εὑρέσει μακάριοι· Ὅθεν ὑμᾶς τιμῶμεν, Ραφαὴλ θεοφόρε, ἅμα σὺν Νικολάῳ καὶ παρθένῳ Εἰρήνῃ, ὡς θείους ἡμῶν προστάτας καὶ πρέσβεις πρὸς Κύριον.

# ΑΝΤΙ ΠΡΟΛΟΓΟΥ

Ὅπως εἶναι γνωστὸν τὴν 9ην Ἀπριλίου τοῦ ἔτους 1463 μ.Χ. ἐτελειώθησαν μαρτυρικῶς εἰς τὴν ἀρχαίαν Μονὴν τῶν Καρυῶν, ποὺ εὑρίσκεται πλησίον τῆς Θερμῆς Λέσβου, οἱ νεοφανεῖς ἔνδοξοι ἅγιοι μάρτυρες Ραφαήλ, Νικόλαος καὶ Εἰρήνη. Ἡ Ἐκκλησία μας τιμᾷ τὴν ἱερὰν μνήμην τους τὴν Τρίτην τῆς Διακαινησίμου ἑκάστου ἔτους, ὁπότε καὶ ἀναγιγνώσκεται ἡ ἱερὰ ἀκολουθία τοῦ ὁσιολογιωτάτου π. Γερασίμου Μικραγιαννανίτου. Διὰ τὴν 9ην δὲ Ἀπριλίου, ἡ ὁποία συμπίπτει συνήθως τὴν Μεγάλην Τεσσαρακοστήν, ἀνέγραψε πρὸς δόξαν Θεοῦ καὶ μὲ πολλὴν ἀγάπην πρὸς τοὺς Ἁγίους εἰδικὴν ἀκολουθίαν ὁ Ἀρχιμανδρίτης Παχώμιος Σούγιουλτζης, τ. Ἐφημέριος τοῦ Ἱεροῦ Ναοῦ Παναγίας τῆς Τρουλλωτῆς Πύργων Θερμῆς Λέσβου. Αὐτὴ ἡ ἐκκλησία λέγεται μὲ αὐτὸ τὸ ὄνομα, διότι ἔχει Τροῦλλο. Εἶναι παλαιὰ καὶ κατὰ τὴν παράδοσιν τὴν ἔκτισεν ἡ βασίλισσα Εἰρήνη ἡ Ἀθηναία, ἡ ὁποία ἦτο ἐξόριστη εἰς τὴν Λέσβον, ὅπου καὶ ἀπέθανεν. Εὑρίσκεται εἰς τὸ χωρίον Πύργοι τῆς Θερμῆς.

Ἡ ἀκολουθία αὐτὴ ἐγράφη κάτω ἀπὸ εἰδικὲς συνθῆκες καὶ ἀντὶ ἄλλων σχολίων εἶναι καλλίτερα νὰ ἀνατρέξωμεν εἰς τὸν μακαριστὸν Φώτην Κόντογλου, ὁ ὁποῖος γράφει σχετικῶς εἰς τὸ βιβλίον του «Σημεῖον Μέγα» (Ἔκδοσις τετάρτη, Ἐκδοτικὸς Οἶκος «ΑΣΤΗΡ» Ἀλ. & Ε. Παπαδημητρίου, ΑΘΗΝΑΙ 1975 σελ. 158 -159): «Ἡ Μαρία Μπαλαμπάνη ἔγραψεν ὡς ἑξῆς τὸ ὄνειρο ποὺ εἶδε (Νοέμβριος 1961)· Ὀνειρεύτηκα καὶ βρέθηκα στὶς Καρυές. Βλέπω τὸν ἅγιο Ραφαὴλ καὶ κρατοῦσε μιὰ μαυροφόρα γυναίκα, καὶ κατέβαινε στὴν Παναγίαν τὴν Τρουλλωτήν. Μοῦ λέγει «Ἔλα μαζί μου Μαρία». Πήγαμε στὴν Παναγία καὶ ἐκεῖ ὁ ἅγιος Ραφαὴλ ἔβαλε τὴν γυναῖκα καὶ κάθησε πίσω σὲ μιὰ πεζούλα, σὰν νὰ τὴν προστάτευε. Μετὰ μπαίνει στὴν ἐκκλησία καὶ φωνάζει τὸν παπὰ Παχώμιον καὶ τοῦ λέγει «Ἄνοιξε τὸ συρτάρι, πάρε χαρτὶ καὶ μολύβι καὶ κάθησε νὰ σοῦ λέγω νὰ γράφης τὰ μαρτύριά μου». Πράγματι, ὁ παπᾶ Παχώμιος πῆρε χαρτὶ καὶ μολύβι καὶ ὁ ἅγιος Ραφαὴλ ἔλεγε καὶ ἐκεῖνος ἔγραφε. Καὶ ἐγὼ τοῦ εἶπα «Τὰ ξέρω, ἅγιε Ραφαήλ». Τὸ πρωὶ πῆγα στὴν ἐκκλησία καὶ εἶπα τὸ ὄνειρόν μου στὸν πάτερ Παχώμιον. Τότε ἐκεῖνος χαμογέλασε καὶ τὸν ρώτησα «Γιατί χαμογελᾶς, πάτερ;». Μοῦ λέγει «Γιατί τεσσάρες μέρες

συνέχεια γράφω τροπάρια γιὰ τοὺς Ἁγίους καὶ δὲν κουράστηκα καθόλου, οὔτε κοιμήθηκα, οὔτε ἔφαγα». Τότε ἐγὼ συγκινήθηκα καὶ ἔκλαιγα.

Ὄντως, ὁ πατὴρ Παχώμιος ἔμεινε κατάπληκτος ὅταν ἄκουσε τὸ ὄνειρον τῆς Μπαλαμπάνη, διότι, ὅπως λέγει ὁ ἴδιος, κανεὶς δὲν ἐγνώριζεν ὅτι ἔγραφεν ἀκολουθίαν διὰ τοὺς Ἁγίους.

Τὴν Ἀκολουθίαν τῶν Δύο Ἁγίων καὶ τῆς Εἰρήνης τὴν ἔστειλεν εἰς ἐμὲ ὁ πατὴρ Παχώμιος καὶ τὴν φυλάττω μετ' εὐλαβείας. Εἰς τὸ τέλος αὐτῆς γράφει ὁ εὐλαβὴς οὗτος λευίτης ὅτι συνέγραψε τὴν Ἀκολουθίαν «εὐλαβείᾳ πρὸς τοὺς Ἁγίους φερόμενος καὶ καθὼς ἐχρηματίσθη ὑπ' αὐτῶν».

Ὁ Ἱερομόναχος Παχώμιος Σούγιουλτζης ἔχει συγγράψει ἀκολουθίας καὶ εἰς τοὺς κάτωθι ἁγίους:

1. Ἀκολουθία εἰς τοὺς Ἁγίους τῆς Θερμῆς
2. Ἀκολουθία εἰς τὴν παρθενομάρτυρα Εἰρήνην τὴν Λεσβίαν
3. Ἀκολουθία εἰς τὸν ἅγιον Θεόδωρον τὸν Μυτιληναῖον
4. Ἀκολουθία εἰς τοὺς πέντε ἁγίους Εὐστράτιον, Αὐξέντιον, Εὐγένιον, Ὀρέστην καὶ Μαρδάριον μετὰ Παρακλητικοῦ Κανόνος.
5. Ἀκολουθία εἰς τὸν Πρωτομάρτυρα ἅγιον Στέφανον
6. Ἀκολουθία εἰς τὸν ὅσιον Παχώμιον τὸν Μέγαν
7. Ἀκολουθία εἰς τὴν ἁγίαν Μεγαλομάρτυρα Εἰρήνην
8. Ἀκολουθία εἰς τὸν ἅγιον Φανούριον
9. Παρακλητικὸν Κανόνα εἰς τὸν ὅσιον Συμεὼν τὸν Στυλίτην
10. Παρακλητικὸν Κανόνα εἰς τὴν ἁγίαν Φωτεινὴν τὴν Σαμαρείτιδα
11. Ἀκολουθία εἰς τὸν Ἅγιο Ἐφραὶμ Νέας Μάκρης

# ΑΣΜΑΤΙΚΗ ΑΚΟΛΟΥΘΙΑ

Τῶν Ἁγίων ἐνδόξων νεοφανῶν
Μαρτύρων Ραφαὴλ καὶ Νικολάου
Καὶ τῆς ἁγίας Παρθενομάρτυρος
Εἰρήνης

Ψαλλομένη τὴ 9η Ἀπριλίου

Ποίημα
Ἱερομονάχου Παχωμίου Σούγιουλτζη

## ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

Εἰς τὸ «Κύριε ἐκέκραξα», ἱστῶμεν στίχους δ' καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια τρία δευτεροῦντες τὸ α'.

Ἦχος Α'. Πανεύφημοι Μάρτυρες.

Ἀσκήσει τὸ πρότερον σοφοί, τὰ πάθη νικήσαντες, θεοειδεῖς ἐγνωρίσθητε, νῦν δὲ ἀθλήσαντες, συμπολῖται ὤφθητε, τῶν ἄνω μακαρίων Δυνάμεων, μεθ' ὧν πρεσβεύσατε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνη καὶ τὸ μέγα ἔλεος.

Πύργοι ἀκαθαίρετοι ἐχθροῦ, προσβολαῖς ἐδείχθητε, τῶν εὐσεβῶν τὲ κραταίωμα, καὶ τεῖχος ἄρρηκτον καὶ βεβαία σκέπη ὦ ὁσιομάρτυρες. Ἐντεῦθεν μακαρίζεσθε πάντοτε, Χριστῷ πρεσβεύοντες, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Ἀβρόχως ἐπλεύσατε σοφοί, βίου τὸ κλυδώνιον, ὦ Ραφαήλ, Νικόλαε καὶ Εἰρήνη τῇ συνεργείᾳ τοῦ Πνεύματος οἰακιζόμενοι, καὶ πρὸς ὅρμον Θείας

Χάριτος ἐφθάσατε, φωτὸς τοῦ ἀκηράτου ταῖς λάμψεσι, καὶ φωτίζετε τοὺς μέλποντας ἐν αἰνέσει ὑμῶν τὰ μαρτύρια.

Δόξα. Ἦχος Α'.

Δαυιτικῶς ἀνεβόων, οἱ ἔνδοξοι ὁσιομάρτυρες, Ραφαὴλ καὶ Νικόλαος: Ἰδοὺ δὴ τί καλὸν ἢ τί τερπνόν, ἀλλ' ἢ τὸ κατοικεῖν ἀδελφοὺς ἐπὶ τὸ αὐτό, οὐ δεσμούμενοι φύσεως σχέσει, ἀλλὰ πίστεως τρόπῳ· ὅθεν οἱ ἅγιοι μάρτυρες, τὸν ἐχθρὸν κατεπάτησαν, καὶ τὸν Σταυρὸν ἀράμενοι, τῷ Χριστῷ ἠκολούθησαν, καὶ πρεσβεύουσι τῷ Βασιλεῖ καὶ Θεῷ, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Καὶ νῦν. Θεοτοκίον.
Δογματικόν. Ἦχος Α'.

Παρθενικὴ πανήγυρις, σήμερον ἀδελφοί, σκιρτάτῳ ἡ κτίσις, χορευέτῳ ἡ ἀνθρωπότης, συνεκάλεσε γὰρ ἡμᾶς, ἡ ἁγία Θεοτόκος, τὸ ἀμόλυντον κειμήλιον τῆς Παρθενίας, ὁ λογικὸς τοῦ δευτέρου Ἀδὰμ Παράδεισος, τὸ ἐργαστήριον τῆς ἑνώσεως τῶν δύο φύσεων, ἡ Πανήγυρις τοῦ σωτήριου συναλλάγματος, ἡ παστὰς ἐν ᾗ ὁ Λόγος ἐνυμφεύσατο τὴν σάρκα, ἡ ὄντως κούφη νεφέλη, ἡ τὸν ἐπὶ τῶν Χερουβεὶμ μετὰ σώματος βαστάσασα. Ταῖς αὐτῆς ἱκεσίαις Χριστὲ ὁ Θεός, σῶσον τὰς ψυχὰς ἡμῶν.

Εἶτα τὸ Φῶς ἱλαρόν. Τὸ προκείμενον τῆς ἡμέρας.
Μετὰ δὲ τό, Καταξίωσον, ψάλλομεν τὰ Ἀπόστιχα.

Ἦχος Β'. Οἶκος τοῦ Ἐφραθᾶ.

Ὤφθητε ἐκ μητρικῶν σπαργάνων θεοφόροι, ἡγιασμένα σκεύη, Πατέρες ἡμῶν καὶ οἶκος τοῦ Παναγίου Πνεύματος.

Στίχ. Τίμιος ἐναντίον Κυρίου.

Φέρων ἐν ταῖς χερσί, σοῦ Ραφαὴλ τοῦ Κυρίου, Σταυρὸν τὰ τῶν δαιμόνων, φαντάσματα τελείως, Πατὴρ ἡμῶν ἠφάνισας.

Στίχ. Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ.

Δόλους τῶν πονηρῶν συντρίψαντες δαιμόνων, τῇ τοῦ Σταυροῦ δυνάμει, ἐτράνωσαν τὴν δόξαν, Χριστοῦ Πατέρες ὅσιοι.

Δόξα καὶ νῦν. Θεοτοκίον.

Δέσποινα ἀγαθή, τὰς ἁγίας σου χεῖρας, πρὸς τὸν Υἱόν σου ἆρον, τὸν φιλόψυχον Πλάστην, οἰκτειρῆσαι τοὺς δούλους σου.

Τό, Νῦν ἀπολύεις.

Τὸ τρισάγιον καὶ Ἀπολυτίκια τῶν ἁγίων.
Ὅρα αὐτὰ εἰς τὸν Μέγαν Ἑσπερινόν.

Καὶ ἀπόλυσις.

# ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Μετὰ τὸν Προοιμιακὸν στιχολογοῦμεν τὴν α' στάσιν τὸ Μακάριος ἀνήρ, εἰς δὲ τό, Κύριε ἐκέκραξα ἱστῶμεν στίχους ς' καὶ ψάλλομεν στιχηρὰ προσόμοια τῶν ἁγίων.

Ἦχος Β'. Ὅτε ἐκ τοῦ ξύλου σὲ νεκρόν.

Δεῦτε συνδραμοῦσαι πανδημεῖ, πᾶσαι στρατιαὶ τῶν Ἀγγέλων, αἱ μὲν ἑπόμεναι, αἱ δὲ προηγούμεναι, δεῦτε προπέμψατε, ἀπὸ γῆς εἰς οὐράνια τοὺς νέους ὁπλίτας, τοῦ Χριστοῦ τοὺς Μάρτυρας τοὺς χαριτώνυμους, ἥκασι μεθ' ὑμῶν γὰρ ἁπάντων, ἵνα συγχορεύοντες κράζωσι, δόξα Τριὰς Θεὲ τρισάγιε.

Δεῦτε ὁ χριστώνυμος λαός, δεῦτε καὶ κροτήσατε ἅμα, δεῦτε συγχάρητε, ὁ γὰρ ὁσιόαθλος ὁ τῆς Ἰθάκης βλαστός, τὴν κατήφειαν ἔλυσεν, ἥ πρὶν ἡμᾶς εἶχεν καὶ εἰς τὸ φαιδρότερον πάντας μετήμειψεν, ἤδη γὰρ ὁ Σατὰν κατεπόθη, ἐναποπνιγεῖς τοῖς τούτου αἵμασιν.

Δεῦτε μοναστῶν οἱ ἀρχηγοί, καὶ τῶν ἀσκητῶν αἱ χορεῖαι, καὶ φιλεόρτων πληθύς, ᾄσμασι τὴν ἔνδοξον πανηγυρίσωμεν, τοῦ σοφοῦ καὶ τρισμάκαρος Ραφαὴλ θείαν μνήμην, χεῖρας τὲ κροτήσωμεν, Χριστὸν δοξάζοντες, ὅπως ταῖς αὐτοῦ ἱκεσίαις εὕρωμεν ψυχῶν σωτηρίαν, καὶ πλημμελημάτων τὴν συγχώρησιν.

Ἕτερα στιχηρὰ προσόμοια.
Ἦχος πλ. δ'. Ὢ τοῦ παράδοξου θαύματος.

Πάτερ Ραφαὴλ τρισόλβιε, ἐν ἀγρυπνίαις πολλαῖς, καὶ συντόνοις δεήσεσι, καὶ παννύχοις στάσεσι τὴν ψυχὴν καθηράμενος, καὶ ὅλως οἶκος Θεοῦ γενόμενος, χάριν θαυμάτων ἀξίως εἴληφας, νόσους ἑκάστοτε, θεραπεύων ὅσιε, ὅθεν πιστῶς, τὴν σεπτὴν κοίμησιν πανηγυρίζομεν.

Τὸν τῆς ἐρήμου κοσμήτορα, καὶ πολιοῦχον στερρόν, Διακόνων τὸ καύχημα, φιλεόρτων τὸ σύστημα, δεῦτε χεῖρας κροτήσωμεν καὶ ἐγκωμίων

ἀνθέσι στέψωμεν, καὶ πρὸς αὐτὸν ἐκβοήσωμεν, ρῦσαι τὴν ποίμνην σου, ἅγιε Νικόλαε πειρασμῶν καὶ νόσων ταῖς πρεσβείαις σου, θείαις πρὸς Κύριον.

Μάρτυς Εἰρήνη πανένδοξε, τὰς οὐράνιους μονάς, ἐπαξίως οἰκήσασα, σὺν Παρθένων τάγμασι, καὶ Μαρτύρων στρατεύμασι, τοὺς ἐκτελοῦντας πίστει τὴν μνήμην σου, καὶ προσιόντας πιστῶς τὴ θήκη τῶν λειψάνων σου, σῶζε πρεσβείαις σου, καὶ πταισμάτων ἄφεσιν παρὰ Θεοῦ, αἴτησε καὶ λύτρωσιν καὶ μέγα ἔλεος.

Δόξα. Ἦχος πλ. β'.

Θεία χάρις ἀπηωρεῖτο, ἐπὶ τῇ θήκῃ τῶν λειψάνων ὑμῶν Ραφαὴλ Νικόλαε καὶ Παρθενομάρτυς Εἰρήνη, ὁσιομάρτυρες ἔνδοξοι, καὶ εἰς ὀσμὴν μύρων δραμούμεθα τῶν θαυμάτων ὑμῶν τῶν νοσημάτων τὴν ἴασιν ἀρυόμενοι. Ἀλλὰ Μάρτυρες πανθαύμαστοι Χριστὸν τὸν Θεὸν ἱκετεύσατε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Τὶς μὴ μακαρίσῃ σε, Παναγία Παρθένε, τὶς μὴ ἀνυμνήσῃ σου τὸν ἀλόχευτον τόκον, ὁ γὰρ ἀχρόνως ἐκ Πατρὸς ἐκλάμψας Υἱὸς μονογενής, ὁ αὐτὸς ἐκ σοῦ τῆς ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθεῖς φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δὶ' ἡμᾶς· οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ' ἐν δυάδι φύσεων ἀσυγχύτως γνωριζόμενος. Αὐτὸν ἱκέτευε, σεμνὴ Παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχᾶς ἡμῶν.

Εἴσοδος. Τό, Φῶς ἱλαρόν.
Τὸ προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.

Προφητείας Ἠσαΐου τὸ Ἀνάγνωσμα.
(Κεφ. μγ' 9)

Τάδε λέγει Κύριος. Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; ἢ τὰ ἐξ ἀρχῆς,

τίς ἀκουστὰ ποιήσει ἡμῖν; Ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν καὶ δικαιωθήτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεός, καὶ ὁ παῖς, ὅν ἐξελεξάμην· ἵνα γνῶτε, καὶ πιστεύσητε, καὶ συνῆτε ὅτι ἐγώ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ᾽ ἐμὲ οὐκ ἔσται. Ἐγώ εἰμι ὁ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σῴζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα, καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεός· ὅτι ἀπ᾽ ἀρχῆς ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. Ποιήσω, καὶ τὶς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ἡμᾶς, ὁ Ἅγιος Ἰσραήλ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.
(Κεφ. γ' 1)

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ᾽ ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ᾽ αὐτῷ συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.
(Κεφ. ε' 15)

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται

θώρακα, δικαιοσύνην· καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν. Συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας· πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ᾿ αὐτῶν ὕδωρ θαλάσσης· ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς, καὶ σύνετε· μάθετε δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ἡμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

Εἰς τὴν Λιτὴν ψάλλομεν στιχηρὰ ἰδιόμελα. Ἦχος α'.

Τοὺς γενναίους ἀθλητὰς καὶ ὁσιομάρτυρας Ραφαήλ, Νικόλαον καὶ Παρθένον Εἰρήνην, ἐν ὕμνοις τιμήσωμεν· οὗτοι γὰρ ἡδρασμένοι, ἐν τῇ πέτρα τῆς ἀληθείας Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, ταῖς ἀλλεπαλλήλαις προσβολαῖς τῶν βασάνων, ἀκλόνητοι ἔμειναν, καὶ διηυγασμένοι, ταῖς θείαις ἀκτίσιν αὐτοῦ, πυρός, τομῆς καὶ μαστίγων ἀνδρείως κατεφρόνησαν διὸ καὶ χαρὰν ἄληκτον ἐν οὐρανοῖς ἐκληρώσαντο. Ἀλλ' ὦ πολυάθλοι ὁσιομάρτυρες, νῦν τρανῶς καθορῶντες τὴν δόξαν Θεοῦ, πρεσβεύσατε ἐκτενῶς ὑπὲρ τῶν πιστῶς εὐφημούντων τὴν πανέορτον μνήμην ὑμῶν.

Ἦχος β'.

Ὀχυρωμένοι τὸν νοῦν γνώσει θείᾳ, πατέρες ὅσιοι, τὰ παρερχόμενα παρήλθετε, μηδὲν θαυμάσαντες τῶν φθειρομένων, ἐν μὲν θλίψεσι μεγαλόφρονες καὶ γενναιότατοι, ἐν δὲ ἀσκήσει καὶ εὐθυμίᾳ ταπεινοὶ καὶ μέτριοι καὶ τοῦ παρόντος βίου τὸ ἄστατον πέλαγος σαφῶς διαπεράσαντες, εἰς εὔδιον λιμένα ἐφθάσατε Χριστὸν ἱλεοῦσθε ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἦχος γ'.

Γενναῖοι ὁσιομάρτυρες ἀληθείας, ὑμᾶς οὐ βία τυραννική, οὐ θωπεία ἀπατηλή, οὐ μελῶν ἐκκοπαί, οὐδὲ θανάτου ἀπειλαί, τῆς πρὸς τὸ θεῖον ἀγάπης χωρίσαι δεδύνηνται· διὸ παρρησίαν ἔχοντες, πρὸς Χριστὸν τὸν ἐπὶ πάντων Θεόν, ταύτην ἀμοιβὴν τῶν ἀλγεινῶν βασάνων, αἰτήσασθε, παρὰ Χριστοῦ λαβεῖν εὐχαῖς ὑμῶν τὸ μέγα ἔλεος.

Ἦχος δ'.

Αἶνος τῷ Θεῷ ἐκ χοϊκῶν χειλέων προσάδεται ἐπὶ τῇ θείᾳ μνήμῃ ὑμῶν Ραφαὴλ Νικόλαε καὶ Εἰρήνη πολυάθλοι ὁσιομάρτυρες, ἔνδοξοι ὑμεῖς γὰρ ὤφθητε, ἀκραιφνεῖς στρατιῶται, τοῦ Λόγου τῆς πίστεως, φαυλίσαντες ἐν τῷ σκάμματι τῶν ἄπιστων ἀγαρηνῶν τὰς μορφὰς καὶ νῦν προσηρείσθητε τῷ φέγγει τῆς Τριάδος καταπυρσεύοντες τὰς ἡμῶν διανοὶας ταῖς πρεσβείαις ὑμῶν.

Δόξα. Ἦχος πλ. α'.

Ὁ συνάναρχος καὶ συναΐδιος Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ καθάπερ ἐν Εὐαγγελίοις προέφη, ὅστις μὲ ἐνώπιον ὁμολογήσει τῶν ἀνθρώπων, κἀγὼ ὁμολογήσω αὐτὸν ἔμπροσθεν Πατρός μου τοῦ Ἐπουρανίου, οὕτως οἱ Πανένδοξοι ἀθλοφόροι, Ραφαήλ, Νικόλαος καὶ Εἰρήνη, θερμῶς ἀπεργασάμενοι, τὸ σωτήριον, ἐν ὄψεσι τυράννων ἀπίστων ἀγαρηνῶν τοῦ Δεσπότου τὸ ὄνομα ἐκήρυξαν, ὑπὲρ οὐ καὶ ἀθλήσαντες διαδήμασι ἀειθαλέσι, παρ' αὐτοῦ ἐστέφθησαν, καὶ νῦν ἐν οὐρανοῖς πρεσβεύουσιν ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Μακαρίζομέν σε Θεοτόκε Παρθένε, καὶ δοξάζομέν σε οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἄῤῥηκτον, τὴν ἀῤῥαγῆ προστασίαν, καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

Εἰς τὸν στίχον στιχηρὰ Προσόμοια.
Ἦχος πλ. α'. Χαίροις ἀσκητικῶν.

Χαίροις τῶν ἀθλοφόρων τριάς, τῶν ἀρετῶν τὰ καθαρὰ καταγώγια, κρατῆρες τὸν θεῖον οἶνον, τῆς εὐσέβειας ὑμῶν, τὰς ψυχὰς εὐφραίνοντα οἱ προχέοντες, μαζοὶ οἱ τὸ γάλα τῶν ἰαμάτων πηγάζοντες, ἄστρα τὸ φέγγος, ἀλήθειας πυρσεύοντα, καὶ τὰ πέρατα φωταυγείαις λαμπρύνοντα. Μάρτυρες μεγαλώνυμοι, οἱ νύκτα μειώσαντες τῆς ἀγνωσίας καὶ πάντων, τὰς διανοίας φωτίσαντες, Χριστὸν δυσωπεῖτε ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος.

Στίχ. Τίμιος ἐναντίον Κυρίου…

Χαίρετε τῆς αἰωνίου χαρᾶς, οἱ κληρονόμοι καὶ ἄνω λαμπρότητος, οἱ μύσται τῶν ἀπόῤῥήτων, τῆς ἀϊδίου ζωῆς, τῶν σεπτῶν ἀγγέλων οἱ συνόμιλοι, Θεοῦ τῆς τραπέζης, οἱ κοινωνοὶ καὶ συνέστιοι, τῶν Ἀποστόλων τῶν μαρτύρων ὁμόστεφοι τῆς ἐλλάμψεως καὶ τῶν ὁσίων, οἱ μέτοχοι. Πάντων τῶν ἀπ'αἰώνων τὲ δικαίων ὁμόσκηνοι, θρόνῳ φωτὸς παραστᾶται τῆς Τρισηλίου Θεότητος, αὐτὴν ἐξαιτεῖσθε ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος.

Στίχ. Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ…

Πάσαν ἐπιφορὰν τῶν δεινῶν, ἀνδρειοτάτῳ λογισμῷ ὑπηνέγκατε ἀλόγοις τε ὥσπερ φόρτος, ἐπιτεθέντες σοφοί, πρὸς βασάνων πλείω πεῖραν ἤγεσθε, διὸ συγκοπτόμενοι, καὶ ῥοπάλοις τυπτόμενοι, καὶ ταῖς αἰκίαις χαλεπῶς δαπανώμενοι, οὐκ ἐκάμφθητε, οὐ Θεὸν ἐξηρνήσασθε ὅθεν προσαπενέγκαντες τῆς νίκης τὸν στέφανον περιφανῶς ἠριθμήθητε, μετὰ τῶν ἄνω Δυνάμεων, μεθ' ὧν ἐξαιτεῖσθε ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος.

Δόξα. Ἦχος πλ. δ'.

Ἐκραταιώθη τῶν τοῦ Χριστοῦ ὁσιομαρτύρων κατ' ἐχθρῶν τὸ σύστημα ἐν οἷς ὡς φωστῆρες φαεινοὶ διαλάμπουσιν, οἱ εὐσθενεῖς, καὶ ἄριστοι ἀθλοφόροι Ραφαὴλ Νικόλαος καὶ Παρθενομάρτυς Εἰρήνη. Τούτοις ἔκλινε τὰ νῶτα ἡ πονηρὰ φάλαγξ τῶν δαιμόνων, τούτους ἐξεπλάγησαν τύραννοι καὶ ἐθαύμασαν Ἄγγελοι, ὁρῶντες τὸν ἀσώματον, ὑπὸ σαρκὸς πα-

τούμενον· τῶν δὲ πιστῶν Ὀρθόδοξων Ἐκκλησία, πανέορτον καὶ θείαν χαρμόσυνην ἐπιτελοῦσα βοᾷ· ὁ ἀσθενείᾳ σαρκὸς πεδήσας τὸν ἰσχυρὸν ταῖς πρεσβείαις τῶν νεοφανῶν Ὁσιομαρτύρων σου σῶσον τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Ἀνύμφευτε Παρθένε, ἡ τὸν Θεὸν ἀφράστως συλλαβοῦσα σαρκί, Μήτηρ Θεοῦ τοῦ Ὑψίστου σῶν οἰκετῶν παρακλήσεις δέχου Πανάμωμε, ἡ πᾶσι χορηγοῦσα καθαρισμὸν τῶν πταισμάτων, νῦν τὰς ἡμῶν ἱκεσίας προσδεχομένη, δυσώπει σωθῆναι πάντας ἡμᾶς.

Εἶτα τὸ Νῦν ἀπολύεις καὶ τρισάγιον κ.λ.π.

Ἀπολυτίκιον. Ἦχος πλ. α'.
Τὸν συνάναρχον Λόγον.

Ἀρετῶν ταῖς ἰδέαις καταστραπτόμενοι, μαρτυρίου τῷ φέγγει ὡραϊζόμενοι, ὑπὲρ ἥλιον σοφοὶ ἐκλάμπετε, ἀδαμάντινοι, καὶ φωτίζετε ἀληθῶς, τοὺς ἐκτελοῦντας ὑμῶν πιστῶς τὴν μνήμην τὴν φωτοφόρον, Ραφαήλ, Νικόλαε καὶ προσκυνούντων ὑμῶν τίμια λείψανα.

Ἕτερον τῆς ἁγίας Εἰρήνης.
Ἦχος γ'. Τὴν ὡραιότητα.

Τὸν ὡραιότατον Χριστὸν ἐπόθησας, καὶ τὰ ἐπίγεια πάντα ἐμίσησας, ἀθλητικῶς ἐπὶ τῆς γῆς Εἰρήνη βιοτεύσασα. Ὅθεν τὴν ἁγίαν σου ἑορτάζομεν κοίμησιν, καὶ περιπτυσσόμεθα τὴν σορὸν τῶν λειψάνων σου, ἐξ ἧς ἡμῶν πηγάζεις ἰάματα, πᾶσι τοῖς πόθῳ προσιοῦσί σοι.

Καὶ νῦν. Θεοτοκίον.

Σὲ τὴν μεσιτεύσασαν τὴν σωτηρίαν τοῦ γένους ἡμῶν ἀνυμνοῦμεν Θεοτόκε Παρθένε, ἐν τῇ σαρκὶ γὰρ τῇ ἐκ σοῦ προσληφθείσῃ ὁ Υἱός σου καὶ

Θεὸς ἡμῶν τὸ διὰ Σταυροῦ καταδεξάμενος πάθος ἐλυτρώσατο ἡμᾶς, ἐκ φθορᾶς ὡς φιλάνθρωπος.

Τὰ αὐτὰ καὶ εἰς τὸ Θεὸς Κύριος.

# ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α' στιχολογίαν
Κάθισμα. Ἦχος α'.
Τὸν τάφον σου Σωτήρ.

Φωστῆρες νεοφανεῖς, ὡς δειχθέντες τῷ κόσμῳ, φωτίζετε αὐγαῖς τῶν ὑμῶν θείων ἄθλων, πιστῶν τὴν διάνοιαν, ἀθλοφόροι πολυάθλοι, ὅθεν ἅπαντες, τὴν ἱερὰν τε καὶ θείαν, μνήμην σήμερον, ἐκτελοῦμεν καὶ πίστει δοξάζομεν.

Δόξα καὶ νῦν. Θεοτοκίον.

Ἐλπίς, χριστιανῶν ἀψευδὴς καὶ βεβαία, ἐλέους χορηγὲ καὶ πηγὴ συμπαθείας, ἡ κλεῖς ἡ διανοίγουσα, τοῦ Θεοῦ τὴν χρηστότητα, πᾶσιν ἄνοιξον τῆς εὐσπλαχνίας τὴν πύλην, πᾶσι δώρησαι τοῦ τῆς τρυφῆς Παραδείσου, τὴν εἴσοδον Δέσποινα.

Μετὰ τὴν β' στιχολογίαν.
Κάθισμα. Ἦχος δ'.
Κατεπλάγη Ἰωσήφ.

Ἐβαπτίσθητε τρισσῶς τὸ τρίτον βάπτισμα πιστῶς, τὸ δι’ ὕδατος πυρός, καὶ θείου Πνεύματος τὸ πρίν, καὶ τῶν δακρύων τὸ δεύτερον ἐν Καρυαῖς Μονῇ τῆς Μυτιλήνης, ἀσκήσαντες στερρῶς, καὶ διανύσαντες ἰσάγγελον ἐν ζωῇ, βίον μακάριοι, καὶ ὡς κριοὶ ἐπίσημοι τὸ τρίτον, σφαγιασθέντες Χριστῷ τῷ Θεῷ, αὐτὸν ἀπαύστως ἐκδυσωπεῖτε, σῶσαι τὰς ψυχὰς ἡμῶν.

Δόξα καὶ νῦν. Θεοτοκίον.

Τρικυμίαις τῶν παθῶν, ὁ ἀσυνείδητος ἐγώ, χειμαζόμενος Ἁγνή, ἐπικαλοῦμαι Σε θερμῶς, μὴ μὲ παρίδῃς τὸν δείλαιον ἀπολέσθαι, ἄβυσσον ἐλέους ἡ τέξασα, πλὴν σοῦ γὰρ ἄλλην ἐλπίδα οὐ κέκτημαι, μὴ οὖν ἐχ-

θροῖς ἐπίχαρμα καὶ γέλως ὁ πεποιθώς σοι ὀφθήσομαι καὶ γὰρ ἰσχύεις, ὅσα καὶ βούλει, ὡς Μήτηρ οὖσα τοῦ πάντων Θεοῦ.

Μετὰ τὸν Πολυέλαιον.
Κάθισμα. Ἦχος πλ. δʹ.
Τὴν σοφίαν καὶ λόγον.

Τῶν βασάνων τὰ νέφη τὰ χαλεπά, ἀθληταὶ παριδόντες καρτερικῶς, ὡς ἥλιος χάριτι, τοῦ Σωτῆρος ἐλάμψατε· ἀδελφικῇ στοργῇ δέ, ἐνθέως συνδούμενοι, διαφόροις πόνοις λαμπρῶς ἐδοξάσθητε, ὅθεν μετὰ τέλος, ἀτελεύτητον χάριν, ἐξ ὕψους ἐδέξασθε, θεραπεύειν νοσήματα· ὁσιομάρτυρες ἔνδοξοι, πρεσβεύσατε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην ὑμῶν.

Δόξα καὶ νῦν. Θεοτοκίον.

Τὴν ψυχήν μου Παρθένε τὴν ταπεινήν, τὴν ἐν ζάλῃ τοῦ βίου τῶν πειρασμῶν, νῦν ὡς ἀκυβέρνητον, ποντουμένην Πανάμωμε, ἁμαρτιῶν τε φόρτῳ ὀφθεῖσαν ὑπέραντλον, καὶ ἐν πυθμένι ᾅδου ἐλθεῖν κινδυνεύουσαν, φθάσον Θεοτόκε τῇ θερμῇ σου πρεσβείᾳ, καὶ σῶσον παρέχουσα τὸν λιμένα τὸν εὔδιον, ἵνα πίστει κραυγάζω σοι. Πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων δοῦναι μοι τὴν ἄφεσιν σὲ γὰρ ἔχω ἐλπίδα ὁ ἀνάξιος δοῦλος σου.

Οἱ Ἀναβαθμοὶ τὸ αʹ ἀντίφωνον τοῦ δʹ ἤχου.

Προκείμενον. Ἦχος δʹ.

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τῶν ὁσίων αὐτοῦ.
Στίχ. Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ.

Τὸ Πᾶσα πνοή.

Εὐαγγέλιον Κατὰ Λουκᾶν.
Ζήτει αὐτὸ τοῦ Ἁγίου Γεωργίου εἰς τὸν ὄρθρον.

Ὁ Ν' Ψαλμός.

Δόξα. Ταῖς τῶν ἀθλοφόρων…
Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου…

Ἰδιόμελον. Ἦχος πλ. β'.
Στίχ. Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου…

Μαρτυρικῶς ἀγωνισάμενοι, ἀθλητικῶν ἐπάθλων ἐτύχετε, ὁσιομάρτυρες ἔνδοξοι· καὶ νῦν εὑρέσει των σεπτῶν ὑμῶν λειψάνων, ἁγιασμοῦ ἐπληρώσατε οὐ μόνον τὴν νῆσον Λέσβον, ἀλλὰ καὶ πᾶσαν Ἐκκλησίαν εὐφράνατε. Χριστὸς γὰρ ὑμᾶς ἐδόξασεν, ὁ δοξασθείς ὑμῶν τοῖς μέλεσιν. Ὧι ἀεὶ πρεσβεύετε, Ραφαὴλ καὶ Νικόλαε σὺν Εἰρήνῃ καὶ τοῖς λοιποῖς συναθληταῖς ὑμῶν, σώζεσθαι ἡμᾶς πάσης θλίψεως.

Εἶτα οἱ Κανόνες τῆς Θεοτόκου καὶ τῶν Ἁγίων ὁ παρών.
Ἦχος πλ. δ'. Ἁρματηλάτην Φαραώ. Ὠδὴ α'.

Μαρτυρικαῖς ἠγλαϊσμένοι χάρισι, καὶ τῷ μεγάλῳ φωτί, ὁλολαμπεῖς πόθῳ παρεστῶτες Μάρτυρες, τὰ νέφη τῶν ψυχῶν ἡμῶν, καὶ παθῶν τὸν χειμῶνα, διασκεδάσατε χάριτι, τοῦ Παντοδυνάμου Θεοῦ ἡμῶν.

Ἀνατεθεῖς ὁ τῶν Μαρτύρων ὅμιλος, τῷ Παντεπόπτῃ Θεῷ καὶ τῷ αὐτοῦ πόθῳ τὰς ψυχὰς προσδήσαντες, διέλυσαν τὸν σύνδεσμον, τῆς κακίας καὶ λύσιν ἁμαρτημάτων βραβεύουσι, πίστει τοῖς αὐτοὺς μακαρίζουσιν.

Οἱ φανερῶς τὸν Πονηρὸν συντρίψαντες πόνοις ἀθλήσεως καὶ φθονερῶς χρόνοις πλείουσι κρυπτόμενοι, σήμερον πεφανέρωνται, καὶ χερσὶν ἱερέων τῶν εὐλαβῶν συγκομίζονται, κόσμῳ σωτηρίαν βραβεύοντες.

Θεοτοκίον.

Ἐξ ὁρατῶν καὶ ἀοράτων ῥῦσαί με, Παρθενομῆτορ ἐχθρῶν, ἡ τὸν Θεὸν Λόγον, ὁρατὸν γεννήσασα, ἀόρατον ὑπάρχοντα, καὶ παθῶν μου τὸν σάλον, τῇ σῇ γαλήνῃ κατεύνασον, μόνη τῶν βροτῶν ἐπανόρθωσις.

## Καταβασίαι τῆς περιόδου

### Ὠδὴ γ'. Οὐρανίας ἁψῖδος.

Πυρωθέντες τῷ πόθῳ, τῷ θεϊκῷ Μάρτυρες, πῦρ τῆς ἀσεβείας, αἱμάτων ῥείθροις ἐσβέσατε, καὶ ἀναλάμψαντες, φωτοειδεῖς ὡς ἀστέρες, πᾶσαν τὴν ὑφήλιον κατεφαιδρύνατε.

Ἀπαστράπτει Μαρτύρων, τὰ φωταυγῆ λείψανα, φέγγος ἰαμάτων, τοῖς πίστει τούτοις προστρέχουσι χάριν γὰρ ἤντλησαν ἐκ τῶν πηγῶν τοῦ Σωτῆρος, τούτου τὸ ἑκούσιον πάθος δηλώσαντες.

Οἱ τῆς πίστεως πύργοι, τὰ τοῦ Χριστοῦ θύματα, χρόνον ἐπιμήκιστον ἤδη κρυπτόμενοι νῦν πεφανέρωνται, Ἀρχιερέως παλάμῃ, εὐσεβῶς ὁσίως τε συγκομιζόμενοι.

### Θεοτοκίον.

Χαῖρε μόνη τεκοῦσα, τὸν τοῦ Παντὸς Κύριον, χαῖρε τὴν χαρὰν τοῖς ἀνθρώποις ἡ προξενήσασα, χαῖρε κατάσκιον καὶ ἀλατόμητον ὄρος, τῶν πιστῶν τὸ στήριγμα χαῖρε Πανάμωμε.

### Κάθισμα. Ἦχος α'.<br>Τὸν Τάφον σου Σωτήρ.

Τὴν πλάνην τοῦ ἐχθροῦ, φανερῶς καθελόντες, ἐν ἔτεσι πολλοῖς, φθονερῶς κεκρυμμένοι, ἡμῖν πεφανέρωσθε, Παναοίδιμοι ὁσιομάρτυρες, θεραπεύοντες τὰ τῶν ψυχῶν ἡμῶν πάθη, καὶ ἰώμενοι τὰς τῶν σωμάτων ὀδύνας, εἰς δόξαν Θεοῦ ἡμῶν.

### Δόξα καὶ νῦν. Θεοτοκίον.

Κυβέρνησον ἁγνή, τὴν ἄθλιαν ψυχήν μου καὶ οἴκτειρον αὐτὴν ὑπὸ πλήθους πταισμάτων, βυθῷ ὀλισθαίνουσαν, ἀπωλείας Πανάμωμε, καὶ ἐν ὥρᾳ με τῇ φοβερᾷ τοῦ θανάτου, ἐλευθέρωσον κατηγορούντων δαιμόνων, καὶ πάσης κολάσεως.

## Ὠδὴ δ'. Σύ μου ἰσχὺς Κύριε.

Σοῦ τὴν σφαγὴν καὶ τὸν ἑκούσιον θάνατον, Ζωοδότα δῆμος ἐπεπόθησε, τῶν ἀθλητῶν καὶ πολυειδεῖς πόνους ὑπομείνας, εἰς ἄπονον μεταβέβηκεν, καὶ θείαν εὐφροσύνην, μελωδῶν εὐχαρίστως, τῇ δυνάμει σου δόξα φιλάνθρωπε.

Τῷ τοῦ Σταυροῦ περιφραξάμενοι θώρακι, καὶ ἀγάπῃ, θείᾳ κρατυνόμενοι, συνασπισμὸν ἔλυσαν ἐχθροῦ, καὶ τὰς παρατάξεις, τὰς τούτου πίστει ἠφάνισαν, οἱ Μάρτυρες οἱ θεῖοι, μελωδοῦντες προθύμως, τῇ δυνάμει σου δόξα Φιλάνθρωπε.

Ταῖς καλλοναῖς, τῶν ἀρετῶν φαιδρυνόμενοι ἐξ αἱμάτων, χλαῖναν ἐστολίσθητε, ἠρυθρωμένην μαρτυρικῶν, σκῆπτρον δὲ καθάπερ Σταυροῦ τὸ τρόπαιον φέροντες, Χριστῷ συμβασιλεύειν, ἠξιώθητε ὄντως, μακαρίων ἐλπίδων λαβόμενοι.

## Θεοτοκίον.

Μήτηρ Θεοῦ, εὐλογημένη Πανάμωμε, ἀσκητῶν θεῖον ἐγκαλλώπισμα, ἡ οὐρανώσασα τὴν ἡμῶν, φύσιν ἀπωσθεῖσαν, τῇ συμβουλίᾳ τοῦ ὄφεως, διάσωσόν με πάντων, τῶν τοῦ βίου σκανδάλων, καὶ τυχεῖν σωτηρίας ἀξίωσον.

## Ὠδὴ ε'. Ἵνα τί μὲ ἀπώσω.

Τῶν ἁγίων σου Σῶτερ, χρόνον ἐπιμήκιστον, κατακρυπτόμενα, τὰ ὀστᾶ φυλάξας, ἐφανέρωσας νῦν ὡς εὐδόκησας, εἰς Λαοῦ σου Λόγε, ἁγιασμὸν καὶ σωτηρίαν καὶ αἰσχύνην ἐχθρῶν βλασφημούντων σε.

Τὸν κρυμὸν τῆς ἀπάτης, θέρμη διελύσατε, πίστεως ἔνδοξοι, καὶ πολλῶν βασάνων, διαδρᾶντες πολύπλοκα θήρατρα, πρὸς τὴν ἄνω πόλιν, ἐπτερωμένοι τῇ ἀγάπῃ κατεπαύσατε δόξης πληρούμενοι.

Καρτερία μαστίζοντες, πᾶσαν ἀπεῤῥάπισαν ἐχθροῦ ἀπόνοιαν, οἱ στεῤῥοὶ ὁπλῖται, καὶ στρεβλούμενοι καὶ ἀναρτώμενοι, καὶ πυρὶ ἐνύλῳ προσομιλοῦντες πᾶσαν ὕλην ἀσεβείας ἐνέπρησαν χάριτι.

Θεοτοκίον.

Ὑπερτέρα τῶν ἄνω, πέφυκας δυνάμεων, Θεοχαρίτωτε, συλλαβοῦσα Λόγον, τὸν τὰ σύμπαντα λόγῳ ποιήσαντα, καὶ τεκοῦσα τοῦτον, τὸν ἐκ Πατρός, πρὸ τῶν αἰώνων, γεννηθέντα ἀρρεύστως ἀμόλυντε.

Ὠδὴ στ'. Ἱλάσθητί μοι Σωτήρ.

Ὡς κρίνα ταῖς νοηταῖς, κοιλάσιν ἀναβλαστήσαντες, ἐνθέου πάντας ὀσμῆς πληροῦτε πανεύφημοι, καὶ ψυχῶν ἐλαύνετε, δυσωδίαν πᾶσιν ἀθλοφόροι ἀξιάγαστοι.

Ἰχῶρες μαρτυρικοί, ψυχῶν ἰῶνται τὰ τραύματα, ἐν τούτοις γὰρ τὸν ἐχθρόν, στεῤῥῶς τραυματίσαντες, ἰατρεῖον ἄμισθον, τοῖς θερμῶς αἰτοῦσι, Θείῳ Πνεύματι γεγόνασι.

Τῷ βασιλεῖ κατ' ἐχθρῶν, αἰτεῖσθε τὰ νικητήρια, Ἀρχιερεῖ δὲ θερμῶς ὑμᾶς συγκομίσαντι, τὴν ἄνωθεν Μάρτυρες παρὰ τοῦ Σωτῆρος, ἐξαιτήσασθε εὐμένειαν.

Θεοτοκίον.

Ἐκ σοῦ τῆς θνητῆς σαρκὸς ἐφάνη προσλήμματι, ὁ πλούσιος· τὴν ἐμὴν πτωχείαν πανάμωμε, ἐκ σοῦ ἀνελάβετο, τῆς ἀθανασίας, τὰς εἰσόδους μοι δωρούμενος.

## Κοντάκιον. Ἦχος δ'.
## Ἐπεφάνης σήμερον.

Ἐκ τῆς γῆς ἐκλάμψαντες, φωστήρων δίκην, ἀσεβείας ἅπασαν, ἀπεμειώσατε ἀχλύν, καὶ τοὺς πιστοὺς ἐφωτίσατε, Μάρτυρες θεῖοι Τριάδος ὑπέρμαχοι.

## Ὁ Οἶκος.

Ὡς ρόδα μέσον ἀκανθῶν, τὰ λείψανα ἀνθοῦντα, ὀσμὴν ὀρθοδοξίας πηγάζετε ἐν κόσμῳ, Μάρτυρες ἔνδοξοι σεπτοί, κόσμου τὰ ὡραῖα ἀρνησάμενοι καλῶς, βασάνους ὑπεμείνατε. Ἀσεβεῖς ἀνομούντας ἠλέγξατε, τὸν Βασιλέα καὶ Δεσπότην τῶν ἁπάντων κηρύξαντες μετὰ μεγάλης εὐθαρσίας· διὰ τοῦτο, οὐρανοῦ τὰ κάλλη ὁρῶντες, ἐκτενῶς ὑπὲρ ἡμῶν τὴν ἱκεσίαν τῷ Βασιλεῖ τῶν αἰώνων, προσάγετε, τῶν τελούντων ὑμῶν τὰ μνημόσυνα Μάρτυρες Θεῖοι Τριάδος ὑπέρμαχοι.

## Συναξάριον

Τῇ 9η τοῦ μηνὸς Ἀπριλίου μνήμην ἐπιτελοῦμεν τῆς ἀθλήσεως τῶν νεοφανῶν νέων ὁσιομαρτύρων, κατόπιν φρικτῶν ὀπτασιῶν, Ραφαήλ, Νικολάου καὶ τῆς Παρθενομάρτυρος Εἰρήνης καὶ τῶν σὺν αὐτοῖς Βασιλείου τοῦ προεστοῦ καὶ Θεοδώρου διδασκάλου. Ἐπὶ τῇ εὑρέσει τῶν ἁγίων λειψάνων ἐν τῇ ἐν Θερμῇ τῆς Μυτιλήνης Ἱερᾷ Μονῇ τῶν Καρυῶν, ἀσκητικῶς μὲν πρότερον καὶ ἀθλητικῶς ἐν αὐτῇ τελειωθέντων κατόπιν φρικτῶν βασανιστηρίων ὑπὸ τῶν ἀπίστων καὶ ἀσεβῶν ἀγαρηνῶν ὁ μὲν ὠμῶς πριονισθεῖς ὑπὸ τὴν κάτω σιαγόνα, ὁ δὲ τιμωρούμενος θανὼν ἐν συγκοπῇ διὰ τὸ βασανίσασθαι τὸν αὐτοῦ καθηγούμενον Ραφαὴλ τὴν δὲ μικρὰν Εἰρήνην τὴν ἔκαψαν μέσα εἰς τὸ πιθάρι τοὺς δὲ λοιποὺς τοὺς ἀποτελείωσαν βάλλοντες τὰς κεφαλὰς αὐτῶν μέσα στὰ σκέλη καὶ ἐκεῖ τους ἀποτελείωσαν ἐν ἔτει 1463 μ.Χ.

Στίχ. Εἰς τοὺς ἁγίους Ραφαὴλ καὶ Νικόλαον.
Ὡς φῶς ἡμῖν ὤφθησαν Ραφαὴλ μέγας
ὁμοῦ καὶ Νικόλαος κεκρυμμένοι.

Εἰς τὴν ἁγίαν Εἰρήνην
Εἰρήνη ἀθλήσασα σὺν τοῖς τοκεῦσι
Ἡμῖν ἤδη ἔγνωσται θαύμασι ξένοις.

Καὶ εἰς τοὺς λοιποὺς
Καρυῶν ἀθλήσαντες Μονῇ τῇ πάλαι,
τῆς ἄνω ἐπέβητε Μάρτυρες δόξης.

Τῇ αὐτῇ ἡμέρα μνήμη τοῦ ἁγίου Μάρτυρος Εὐψυχίου τοῦ ἐν Καισαρείᾳ.

Τῇ αὐτῇ ἡμέρα μνήμη τοῦ ὁσίου Βαδίμου τοῦ Ἀρχιμανδρίτου καὶ τῶν ἑκατὸν μαθητῶν αὐτοῦ.

Τῇ αὐτῇ ἡμέρα μνήμη τῶν ἁγίων μαρτύρων τῶν ἐν τῇ αἰχμαλωσίᾳ τελειωθέντων ἐν Περσίδι.

Τῇ αὐτῇ ἡμέρα ὁ ἅγιος Αὐδιησοῦς μαχαίρᾳ τελειοῦται.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις ὁ Θεὸς ἐλέησον ἡμᾶς Ἀμήν.

Ὠδὴ ζ'. Θεοῦ συγκατάβασιν.

Γνωστοὶ τῷ ποιήσαντι, τῷ μαρτυρίῳ πάλαι γενόμενοι ἀφανῶς κεκρυμμένοι ἡμῖν ἀρτίως νῦν ἐπεγνώσθητε, τοῖς μελωδοῦσι πανεύφημοι Μάρτυρες, εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Ἀντλήσατε, ἄνθρωποι, πηγῆς βρυούσης, νάμα σωτήριον, ὀχετῶν ἐξ αὐλων, διὰ λειψάνων Μαρτύρων σήμερον, καὶ μελωδεῖτε τῷ τούτους δοξάσαντι, εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Φωτὸς οἰκητήρια, ἀναδειχθέντες διὰ βασάνων πολλῶν κατακρύψει ζοφώδει, ἐτῶν διαύλοις κατακρυπτόμενοι, ὡς ἐξ ἀδύτων φωστῆρες ἐξέλαμψαν, οἱ Ἀθληταί σου Χριστὲ φωταγωγοῦντες ἡμᾶς.

Θεοτοκίον.

Προφῆται προήγγειλαν, τὸ βάθος Κόρη τοῦ μυστηρίου σου, ἐξ ἁγνῶν σου αἱμάτων, Θεὸν Παρθένε ἐκυοφόρησας, καὶ ἐν οὐσίαις δυσίν ἀπεκύησας, εἰς σωτηρίαν ἡμῶν καὶ ἀπολύτρωσιν.

Ὠδὴ η'. Ἑπταπλασίως κάμινον.

Ὡς τῆς ἀμπέλου κλήματα τῆς αὔλου ὑπάρχοντες, βότρυας ἡμῖν, θεογνωσίας ἤνθησαν, καὶ οἶνον ἐκέρασαν ἀθανασίας πᾶσι σαφῶς, μέθην ψυχικῆς, ἀποκρουόμενον βλάβης, οἱ Μάρτυρες βοῶντες ἱερεῖς εὐλογεῖτε λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Τοῖς ὀχετοῖς τοῦ αἵματος, ποταμοὺς ἀπεξήραναν ἀσεβείας καὶ πυρὰν ἐτέφρωσαν, ἀθέου προστάγματος, οἱ ἀθληταὶ τῆς δόξης Χριστοῦ, πάσαν δὲ πιστῶς ἀναβοώσαν καρδίαν κατήρδευσαν πλουσίως, ἱερεῖς εὐλογεῖτε λαὸς ὑπερυψοῦτε Χριστὸν εἰς τοὺς αἰώνας.

Ἱεραρχῶν ὁ Πρόκριτος, Μυτιλήνης ὁ Πρόεδρος ἱερῶς συγκινούμενος, τὴν συγκομιδὴν τὴν ἱερὰν πεποίηται, ὑμῶν Παμμακάριστοι καὶ ἐτησίως ταύτην τιμᾷ, μέλπων σὺν παντὶ τῷ ἱερῷ καταλόγῳ, οἱ παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε Χριστὸν εἰς τοὺς αἰώνας.

Θεοτοκίον.

Ἁγιασθεῖσα Πνεύματι, Θεοτόκε πανάμωμε, τὸν ἐν ἁγίοις ἐπαναπαυόμενον, ἐκύησας Ἅγιον, καὶ εὐεργέτην μόνον Θεόν, πάντας τοὺς βοῶντας, ἁγιάζοντα πίστει, οἱ παῖδες εὐλογεῖτε, ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε Χριστὸν εἰς τοὺς αἰώνας.

Ὠδὴ θ'. Ἐξέστη ἐπὶ τούτῳ ὁ οὐρανός.

Ἀλλήλους συνωθοῦντες πρὸς τὴν ζωὴν καὶ θαρρεῖν ἑαυτοῖς ἐγκελεύοντες, τοὺς αἰκισμούς, ἤνεγκαν βοῶντες οἱ ἀθληταί, Ἴδε καιρὸς εὐπρό-

σδεκτος στῶμεν καὶ νικήσωμεν τὸν ἐχθρόν, Χριστὸς γὰρ ἀθλοθέτης, προτείνει τοὺς στεφάνους, ὁ δι' ἡμᾶς παθεῖν ἑλόμενος.

Ὑψώθης ἐπὶ ξύλου Λόγε Θεοῦ, καὶ Μαρτύρων ἀγέλας ἀνείλκυσας, πρὸς ἑαυτόν, Πάθος εἰκονίζοντας καὶ σφαγήν, ἥν ἑκουσίως Δέσποτα, εἵλου εὐσπλαχνίᾳ τῇ καθ' ἡμᾶς, διό Σε οἱ γενναῖοι, ποθήσαντες ὁπλῖται, ὡς ἱερεῖα σφαγιάζονται.

Χριστῷ συμβασιλεύειν διαπαντός, ἀθλοφόροι πανεύφημοι Μάρτυρες, περιχαρῶς, καταξιωθέντες ἐν οὐρανοῖς, τῷ Βασιλεῖ τὰ τρόπαια, καὶ τῷ ποιμενάρχῃ τὴν ψυχικήν, αἰτεῖσθε σωτηρίαν, καὶ πᾶσι τοῖς ἐν πίστει, ἀνευφημοῦσι ὑμᾶς πάντοτε.

Θεοτοκίον.

Νεφέλη τοῦ Ἡλίου τοῦ νοητοῦ, τῆς ψυχῆς μου τὰ νέφη ἀπέλασον, πύλη Θεοῦ ἄνοιξόν μοι πύλας ἐκδυσωπῶ δικαιοσύνης Δέσποινα, καὶ πρὸς τὰς εἰσόδους τὰς ἀγαθὰς εἰσάγαγε Παρθένε, σκανδάλων πολυτρόπων, τοῦ Πονηροῦ ἐκλυτρουμένη με.

Ἐξαποστειλάριον
Γυναῖκες ἀκουτίσθητε...

Συνόντες παμμακάριστοι, Θεῷ τῷ Παντοκράτορι, καὶ ἀστραπαῖς ταῖς ἐκεῖθεν, λαμπόμενοι ὁσίαθλοι, Ραφαὴλ, Νικόλαε σὺν Παρθένῳ Εἰρήνῃ, στεφανηφόροι Μάρτυρες τῶν τὴν ὑμῶν ἐκτελούντων, μέμνησθε πάμφωτον μνήμην.

Θεοτοκίον.

Τὴν μόνην Θεομήτορα, ἀπαύστως μακαρίσωμεν, οἱ σεσωσμένοι τῷ ταύτης, ὑπερφυεῖ Θείῳ τόκῳ, ἀξιοχρέως μέλποντες, τὴν Θεοτόκον Δέσποιναν, λύτρον ἡμῖν γὰρ τέτοκεν, πλημμελημάτων ἀρχαίων, Χριστὸν Τριάδος τὸν ἕνα.

Εἰς τοὺς Αἴνους ἱστῶμεν στίχους δ' δευτεροῦντες τὸ α' καὶ ψάλλομεν στιχηρὰ προσόμοια.

Ἦχος α'. Τῶν οὐρανίων ταγμάτων.

Τῶν οὐρανίων τὰ κάλλη, ποθοῦντες ἔνδοξοι, καὶ τῷ Χριστῷ συνεῖναι, μεθ' ἁγίων Ἀγγέλων, παντοίας τὰς βασάνους ὑπέστητε στεῤῥῶς καὶ τυρράνων ὠμότητα, καὶ μαρτυρήσαντες γενναίως ὑπὲρ Χριστοῦ, συνευφραίνεσθε τοῖς Μαρτύρων χοροῖς. (δίς)

Μαρμαρυγαῖς ἀκηράτοις καταστραπτόμενος, τοῦ νοητοῦ Ἡλίου ὦ Ραφαὴλ θεοφόρε, ὁλόφωτος ἐδείχθης μάρτυς Χριστοῦ, ἱερεὺς τὲ ἐννομώτατος, διὸ Χριστῷ συνυπάρχων ἐν οὐρανοῖς, ὑπὲρ κόσμου παντὸς πρέσβευε.

Διακονήσας ἐνθέως Χριστῷ Νικόλαε, καὶ ἀνδρικῶς ἀθλήσας Ραφαὴλ σὺν τῷ Θείῳ, ἅμα καὶ Εἰρήνῃ ὑπὲρ Χριστοῦ, μετὰ χρόνιον ἔγκρυψιν, ἐξανατέλλετε κόσμῳ περιφανῶς, ὡς ἀστέρες φαεινότατοι.

Δόξα. Ἦχος πλ. δ'.

Τὶς μὴ θαυμάσῃ, τὶς μὴ δοξάσῃ, τὶς μὴ ὑμνήσῃ πιστῶς τῶν σοφῶν καὶ ἐνδόξων ὁσιομαρτύρων Ραφαὴλ Νικολάου, καὶ Παρθένου Εἰρήνης τὰ θαύματα, ὅτι καὶ μετὰ τὴν ἁγίαν αὐτῶν τελείωσιν, πάσι χορηγούσι τοῖς προστρέχουσι πιστῶς πλουσίως τὰ ἰάματα, καὶ τὰ τίμια καὶ ἅγια λείψανα αὐτῶν βρύουσι τὴν χάριν τῶν ἰάσεων. Ὢ Τριὰς ἁγία! Ὢ τίμιαι κάραι! Ὢ σοφία καὶ δόξα τῆς ἐκ Θεοῦ δοθείσης ὑμῖν χάριτος! Διὸ ὕμνοις ᾄσωμεν τῷ εὐεργέτῃ Θεῷ, τῷ ἀναδείξαντι ἐν ὑστέροις καιροῖς τούτοις εἰς ἰατρείαν τῶν ψυχῶν καὶ σωμάτων ἡμῖν.

Καὶ νῦν. Θεοτοκίον.

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Δοξολογία Μεγάλη.
Δίδοται καὶ ἅγιον ἔλαιον τοῖς ἀδελφοῖς.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ τυπικὰ καὶ ἐκ τῶν κανόνων ᾠδὴ γ' καὶ ς'.
Ἀπόστολος ζήτει αὐτὸν τῇ 2α Σεπτεμβρίου.
Εὐαγγέλιον τῇ Παρασκευῇ τῆς 3ης Λουκᾶ.
Κοινωνικόν. Εἰς μνημόσυνον.

Μεγαλυνάριον.
Τοὺς ὁσιομάρτυρας τοῦ Χριστοῦ, Ραφαὴλ τὸν θεῖον, καὶ Νικόλαον τὸν σεπτόν, ἅμα σὺν Εἰρήνῃ, τῆς Λέσβου τοὺς προστάτας, ὡς πᾶσι βοηθοῦντας, ὕμνοις τιμήσωμεν.

Δίστιχον
Ραφαὴλ Νικόλαον σὺν τῇ Εἰρήνῃ
Παχώμιος ὕμνησε καινοῖς ἐν ὕμνοις
Τέλος καὶ τῷ Θεῷ ἀτελεύτητος δόξα.